πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς
υἱούς. δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τὴν
φύσιν οἷόσπερ ἦν ὁ Φοίνιξ ὁ τοῦ Ἀχιλλέως παιδαγωγός. τὸ
δὲ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων ἔρχομαι
φράσων. διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς
βίοις εἰσὶν ἀδιάβλητοι καὶ τοῖς τρόποις ἀνεπίληπτοι καὶ ταῖς
ἐμπειρίαις ἄριστοι· πηγὴ γὰρ καὶ ῥίζα καλοκαγαθίας τὸ νο-
μίμου τυχεῖν παιδείας. καὶ καθάπερ τὰς χάρακας τοῖς φυτοῖς C
οἱ γεωργοὶ παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων
ἐμμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς
νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνῃ τὰ ἤθη. νῦν δέ τις κἂν κα-
ταπτύσειε τῶν πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς
μέλλοντας διδάσκειν, δι' ἄγνοιαν ἔσθ' ὅτε καὶ δι' ἀπειρίαν,
ἀνθρώποις ἀδοκίμοις καὶ παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας.
καὶ οὔπω τοῦτ' ἐστὶ καταγέλαστον εἰ δι' ἀπειρίαν αὐτὸ πράτ-
τουσιν, ἐκεῖνο δ' ἐσχάτως ἄτοπον. τὸ ποῖον; ἐνίοτε γὰρ εἰδότες,
αἰσθόμενοι ἢ ἄλλων αὐτοῖς τοῦτο λεγόντων, τὴν ἐνίων τῶν
παιδευτῶν ἀπειρίαν ἅμα καὶ μοχθηρίαν, ὅμως τούτοις ἐπιτρέ- D
πουσι τοὺς παῖδας, οἱ μὲν ταῖς τῶν ἀρεσκευομένων ἡττώμενοι
κολακείαις, εἰσὶ δ' οἳ καὶ δεομένοις χαριζόμενοι φίλοις, παρ-
όμοιον ποιοῦντες ὥσπερ ἂν εἴ τις τῷ σώματι κάμνων τὸν σὺν
ἐπιστήμῃ δυνηθέντα σῶσαι παραλιπών, φίλῳ χαριζόμενος τὸν
δι' ἀπειρίαν ἀπολέσοντα [ἂν] αὐτὸν προέλοιτο, ἢ ναύκληρον
τὸν ἄριστον ἀφεὶς τοιοῦτον δοκιμάσειε φίλου δεηθέντος. Ζεῦ